γράφουσιν, οὕτω, ϛι. τρίτον δὲ, ταῦτα τὰ ῥήματα, Καὶ καλεῖται Κόππα, ἐννενήκοντα, οὐκ ἔστιν αὐτοῦ τοῦ σχολιαστοῦ ῥήματα, ἀλλὰ ἐκ τῶν γραμματικῶν, οὓς οὕτω διδάσκειν φησί. καὶ ταύτην τὴν λέξιν (Καὶ) κακῶς γεγράφθαι, ἀντὶ τοῦ σημείου, Κ, ὅπερ ἐνεχαράσσετο τοῖς ἵπποις, ἐκ τοῦ Κ καὶ ς συνεζευγμένων, ὡς προείρηται. τοῦτο γὰρ τὸ σημεῖον αἱ γλῶσσαι ἐδίδασκον καλεῖσθαι διχῶς, κόππα δηλονότι, καὶ ἐννενήκοντα. οὕτως οὖν γραπτέον ἐν τοῖς προτέροις σχολίοις. συνεζευγμένου γὰρ τοῦ κ καὶ τοῦ ς, τὸ σχῆμα τοῦ ϟ ἐννενήκοντα ἀριθμοῦ δηλοῦσθαι
A νοεῖσθαι, οὗ προηγεῖται τὸ Κ. καὶ παρὰ τοῖς γραμματικοῖς οὕτω διδάσκεται, ϟ, καλεῖται κόππα, καὶ ἐννενήκοντα. καὶ ταῦτα μὲν κατὰ στοχασμὸν οὐκ ἀπίθανον τοῖς φιλομούσοις σαφηνείας χάριν εἰρήσθω. ἀλλὰ πολλῷ σαφέστερον, καὶ ἁπλούστερον εἰ παρεὶς ταύτας τὰς οὐκ ἀναγκαίας λεπτολογίας, τὸν ἵππον τὸν Κοππατίαν καλεῖσθαι λέξῃς, ὃς τὸ τοῦ κόππα, τουτέστι Κ. χαρακτῆρα ἔχει. καὶ ὡσαύτως τὸν Σαμφόραν· ὃς φέρει τὸ στοιχεῖον σ. ὃ δωρικῶς σὰν λέγεται, καὶ τούτου ὁ μείζων χαρακτὴρ διπλοῦν ἔχει σχῆμα. τὸ μὲν, Σ. τὸ δὲ, σ.

B

Εἴθ᾽ ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
Φει. Φίλων ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.
Στ. Τοῦτ᾽ ἔστι τοῦτο τὸ κακὸν, ὅ μ᾽ ἀπολώλεκεν.
Ονειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
Φει. Πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια.
C Στ. Εμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ᾽ ἐλαύνεις δρόμους.
Αταρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
Τρεῖς μναῖ διφρίσκου, καὶ τροχοῖν Αμυνίᾳ.
Φει. Απαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
Στρ. Αλλ᾽ ὦ μέλ᾽ ἐξήλικας ἐμέ γ᾽ ἐκ τῶν ἐμῶν.

*Vtinam prius esset à me huic exculptus oculus.*
PHI. *Philon, iniquè agis: mane in tua Orbita.*
ST. *Hoc illud est malum, quod me malè perdidit.*
*Nam dormiens etiam rem equestrem animo agitat.*
PH. *Quot cursibus peragitur decursorium?*
ST. *Me tu quidem multis exagitas cursibus patrem.*
*Sed, quodnam debitum restat post Pasiam?*
*Minæ tres pro sella curuli, & pro rotis,*
*Amyniæ.* PH. *Equum prouoluito, ac domum reduc.*
ST. *At tu prouoluisti me, bone vir, è meis*

Σχόλια. Εἴθ᾽ ἐξεκόπην.] ἔπαιξε τὸ ἐξεκόπην περὶ τὸν κοππατίαν. φησὶ δὲ ὄφελον πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι, πατάξας αὐτὸν λίθῳ. D Φίλων ἀδικεῖς,] ὁ νεανίσκος Φειδιππίδης τοῦτο καθεύδων ὑποφθέγγεται, ὥς τινα συνηνιοχοῦντα μεμφόμενος. ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μήδ᾽ ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ᾽ ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς, τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ Φίλων οἱ μὲν φασὶν ἀναρμόστως καθ᾽ ὕπνον εἰρηκέναι E τὸν νεανίσκον, ἀντὶ τοῦ ὦ φίλε. οἱ δὲ κύριον ἡνιόχου.

Bisetvs. Ονειροπολεῖ] Εὐστάθιος. ὀνειροπόλος, ὁ περὶ τοὺς ὀνείρους πολούμενος, καὶ ἢ ἐξ ὧν αὐτὸς βλέπει, ἢ ἐξ ὧν ἄλλοι, κρίνων. ὄνειρος δὲ παρὰ τὸ ὂν εἴρειν, τουτέστι λέγειν τὸ ἀληθές. ὄνειρος ἀρσενικῶς, καὶ ὄνειρον οὐδετέρως, τὸ ἀληθὲς ἐνύπνιον.

Σχόλια. Πόσους δρόμους.] ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ᾽ ἐστὶν ἀπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ᾽ ἡνίοχοι, καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν F ὁ Θησεύς. Πολεμιστήρια.] κατά τινας, ἀγὼν Αθήνησιν ἱππικοῦ δρόμου. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν. ὥστε τὰ ἁμιλλητήρια, πληθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ᾽ ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα. ἄλλως. δέον εἰπεῖν πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια. ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης, ὁ δὲ ἐπεὶ καθ᾽ ὕπνους τοῦτ᾽ ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς, τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ G εἰκῇ φέρεται. Αταρ τί.] τί δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν. Εὐριπίδης, τί χρέος ἔβα δῶμα. Τρεῖς μναῖ διφρίσκου.] δίφρος καλεῖται τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρίσκους. διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς.

D Bisetvs. Διφρίσκου] Εὐστάθιος. δίφρος, ὁ τοῦ ἅρματος κορυφαῖος τόπος, ἐφ᾽ οὗ ἵσταντο, ὅ, τε παραβάτης καὶ ὁ ἡνίοχος. ἀπὸ δὲ μέρους, καὶ τὸ ὅλον ἅρμα. ἔστι καὶ δίφρος, εἶδος θρόνου εὐτελοῦς ὁμωνύμως τῷ τοῦ ἅρματος δίφρῳ καὶ εὐτελέστερόν τι θρόνου, καὶ κλισμοῦ δοκεῖ σημαίνειν ὁ δίφρος. λέγεται δὲ καὶ δίφρος, καὶ δίφρα κατὰ γλῶσσαν μεταπλασμόν. δίφρος δὲ παρὰ τὸ δύο φέρειν λέγεται, τροπῇ τοῦ υ εἰς ι.

Σχ. Καὶ τροχοῖν Αμυνίᾳ.] καὶ τοῦτο τῶν ὑπὲρ ἵππους πλησάντων. μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς σφηξί. νῦν δὲ οὐκ ἐκείνου καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα διασύρειν βουλόμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ E ἦρχεν Αμινίας Προνάπου υἱός. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ι εἰς τὸ υ, καὶ παρεγραμμάτισε γελοίως. ἐπεὶ παρὰ τοῖς Αθηναίοις ὁ νόμος, φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. Αμυνίαν δὲ αὐτὸν εἶπεν, ἀντὶ τοῦ Αμινίαν. Απαγε τὸν ἵππον ἐξαλίσας.] καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας καὶ τὸν τόπον ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν, ὡς που καὶ ἐν τοῖς βατράχοις ὁ αὐτὸς ποιητής. ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.

F Bisetvs. Εξαλίσας.] Εὐστάθιος. ἐξαλίσαι, ἤγουν κυλισθῆναι ποιῆσαι. ἀπὸ τοῦ ἁλίζω θέματος. ἁλίζειν δὲ, τὸ ἐν κόνει κυλίεσθαι, ἢ κόνει φύρεσθαι, ὅθεν ἵππον ἐξαλίσαι, τὸ κυλισθῆναι ποιῆσαι. ἀλλαχοῦ δὲ παρὰ τὸ κυλίω, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ υ εἰς α γίνεται ἁλίω, ὅθεν τὸ ἐξαλίσαι παρ᾽ Αριστοφάνει. ὁ αὐτὸς, ἀλινδήθρα, ἢ κονίστρα, παρὰ τὸ ἀλινδῶ, ὃ παρὰ τὸ κυλινδῶ, ὃ ἐκ τοῦ κυλίω.

Σχ. Αλλ᾽ ὦ μέλ᾽ ἐξήλικας.] κατὰ ἀποκοπὴν τοῦ ε. Αττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γραφόμενον.

G Bisetvs. Εξήλικας.] μεταφορικῶς δὲ τοῦτο εἴρηται, ἀντὶ τοῦ ἐξήλακας, τουτέστι διὰ τὴν σου ἱπποτροφίαν, καὶ δαπάνας τῶν ἐμῶν κτημάτων ἐμὲ ἀπεστέρησας. τὸ δὲ μέλ᾽, ὥς φησιν Εὐστάθιος, ἀντὶ τοῦ μέλεε, κατ᾽ ἀποβολὴν τῶν δύο ee. μέτρου χάριν. μέλεος δὲ, μάταιος, ἄθλιος, ταλαίπωρος, δυστυχής. ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐκδέχεται τὸ μέλεος, ὅθεν μέλεον ἀκοντίζειν.

τὸ τοῦ